## LIII (23)

εἴπας "Ἥλιε χαῖρε" Κλεόμβροτος ὡμβρακιώτης
ἧλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀίδην,
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

## LIV (1)

ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιον·
"ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δή
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ,
ἡ δ' ἑτέρη προβέβηκε. τί λώιον; εἰ δ' ἄγε σύμ μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω."
εἶπεν, ὁ δὲ σκίπωνα γεροντικὸν ὅπλον ἀείρας·
"ἠνίδε κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος."
(οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.)
"κείνων ἔρχεο", φησί, "μετ' ἴχνια." χὠ μὲν ἐπέστη
πλησίον, οἱ δ' ἔλεγον "τὴν κατὰ σαυτὸν ἔλα."
ταῦτ' ἀίων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνα συνθέμενος·